*ὀδύνη με τείρει, κοὐκέτ᾽ ὀρθοῦμαι τάλας.*
*καὶ ξυμφορὰν μὲν οἶδ᾽ ὁρῶν, τρόπῳ δ᾽ ὅτῳ*
*τεθνᾶσιν οἱ θανόντες οὐκ ἔχω φράσαι,*
*οὐδ᾽ ἐξ ὁποίας χειρός. εἰκάσαι δέ μοι*
*πάρεστι λυπρὰ πρὸς φίλων πεπονθέναι.*

ΧΟ. *ἡνίοχε Θρῃκὸς τοῦ κακῶς πεπραγότος,*
*μηδὲν δύσοιζ᾽ οὐ πολεμίους δρᾶσαι τάδε.*
*Ἕκτωρ δὲ καὐτὸς συμφορᾶς πεπυσμένος*
*χωρεῖ· συναλγεῖ δ᾽, ὡς ἔοικε, σοῖς κακοῖς.*

ΕΚ. *πῶς, ὦ μέγιστα πήματ᾽ ἐξειργασμένοι,*
*μολόντες ὑμᾶς πολεμίων κατάσκοποι*
*λήθουσιν αἰσχρῶς, καὶ κατεσφάγη στρατός,*
*κοὔτ᾽ εἰσιόντας στρατόπεδ᾽ ἐξαπώσατε*
*οὔτ᾽ ἐξιόντας; τῶνδε τίς δώσει δίκην*
*πλὴν σοῦ; σὲ γὰρ δὴ φύλακά φημ᾽ εἶναι στρατοῦ.*
*φροῦδοι δ᾽ ἄπληκτοι, τῇ Φρυγῶν κακανδρίᾳ*
*πόλλ᾽ ἐγγελῶντες τῷ στρατηλάτῃ τ᾽ ἐμοί.*
*εὖ νυν τόδ᾽ ἴστε, Ζεὺς ὀμώμοσται πατήρ·*
*ἤτοι μάραγνά γ᾽ ἢ καρανιστὴς μόρος*
*μένει σε δρῶντα τοιάδ᾽, ἢ τὸν Ἕκτορα*
*τὸ μηδὲν εἶναι καὶ κακὸν νομίζετε.*

ΧΟ. *ἰὼ ἰώ,* antistr.
*μέγας ἐμοὶ μέγας ὦ πολίοχον κράτος*
*τότ᾽ ἄρ᾽ ἔμολον, ὅτε σοι*
*ἄγγελος ἦλθον,*
*ἀμφὶ ναῦς πύρ᾽ αἴθειν Ἀργείων στρατόν,*
*ἐπεὶ ἄγρυπνον ὄμμ᾽ ἐν εὐφρόνῃ*
*οὔτ᾽ ἐκοίμισ᾽ οὔτ᾽ ἔβρισ᾽,*
*οὐ τὰς Σιμοεντιάδας πηγάς· μή μοι*
*κότον, ὦ ἄνα, θῇς· ἀναίτιος γὰρ*
*ἔγωγε πάντων.*

---

805. *δύσοιζ᾽ οὐ*] Musgravius, *δυσοίζου* libri. 812. *τίσει ABC* 821. *πολίοχον*] Vaterus, *πολιοῦχον* libri. 822. *ἔμολ᾽ BC* 824. *περί BC* *ναῦς*] Badhamus, *ναυσί* libri. *στρατόν* om. *BC* 826. *ἔβρισ᾽* BC *A* *ἔβριξα BC* 827. *οὐ τὰς Σιμοεντιάδας*] Hermannus, *οὐ μὰ τὰς σιμοεντίδας* libri. 828. *ὦ ἄναξ B ὦναξ C* 829. *ἐγώ BC*